ΑΝΑΣΤ. Κ. Π. ΣΤΑΜΟΥΛΗ
ΤΟΥ ΕΚ ΣΗΛΥΒΡΙΑΣ
ΘΡΑΚΙΚΑ

# Ὄλυνθος.

Felix Jacoby: Frag. Griech. Historiker Berlin 1927 τ. II (B)

σ. 622

(Script. Al. M. 121). Σουΐδας s.

Στράττις Ὀλύνθιος ἱστορικός. Περὶ τῶν Ἀλεξάνδρου Ἐφημερίδων βιβλία πέντε. Περὶ Ποταμῶν καὶ Κρηνῶν καὶ Λιμνῶν. Περὶ τῆς Ἀλεξάνδρου Τελευτῆς

σ. 631 - 657

Σουΐδας s.

Καλλισθένης Δημοτίμου· οἱ δὲ Καλλισθένους. Ὀλύνθιος· μαθητὴς Ἀριστοτέλους καὶ ἀνεψιαδοῦς, ὃς ἠκολούθει Ἀλεξάνδρωι τῶι Μακεδόνι. Ὁ δ' ἐν γαλεάγραι σιδηρᾶι βαλὼν αὐτὸν ἅμα Νεάρχωι(?) τῶι τραγικῶι, διότι συνεβούλευε μὴ ἐπιζητεῖν ὑπὸ Ἀθηναίων καλεῖσθαι Διόνυσον. Τινὲς δὲ αὐτὸν ἐν ἐπιβουλῆι ληφθέντα Ἀλεξάνδρωι ἀναιρεῖσθαί φασιν ἅμα Νεάρχωι. Εὐφυὴς πρὸς τὸ αὐτοσχεδιάζειν καὶ ῥύμηι πολλῆι φέρεσθαι. Καὶ φέρεται λόγος, ὑπὸ Καλλισθένους ὑπὸ φθειρῶν ἐπιβρυόντων καὶ ἐμβρυόντων τὸν βίον καταστρέψαι. Καὶ παροιμία ὁ Ἰάμβου σῶος καὶ φθειριῶσαν ὡς ἡ περὶ Καλλισθένους, περὶ τῶν ἰατρικῶν τέχνης δίχα ἐν ἐγχειρήματι.

Πλούταρχος Ἀλέξανδρος 55:

Καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῶι (sc. Ἀριστοτέλει) διὰ τὴν συγγένειαν, ἐξ Ἡροῦς γεγονὼς ἀνεψιᾶς Ἀριστοτέλους.

Simpl. i. Aριστοτ. De Coelo II 12 (Comm. Aριστ. Ἑλλ. VII 506, 11):

«... διὰ τὸ μηδέπω τὰς ὑπὸ Καλλισθένους ἐκ Βαβυλῶνος ἐκπεμφθείσας τηρήσεις ἥκειν εἰς τὴν Ἑλλάδα, Ἀριστοτέλους τοῦτο ἐπισκήψαντος αὐτῶι, ἅς ἱστορεῖ Πορφύριος ἐτῶν εἶναι χιλίων καὶ μυριάδων τριῶν ἕως τῶν Ἀλεξάνδρου τοῦ Μακεδόνος σωζομένας χρόνων.

Διογένης Λαέρτιος V 39:

Λέγεται δὲ ἐπ' αὐτοῦ (sc. Θεοφράστου) τε καὶ Καλλισθένους τὸ ὅμοιον εἰπεῖν Ἀριστοτέλην, ὅπερ Πλάτωνα, καθὰ προείρηται φασὶν εἰπεῖν ἐπί τε Ξενοκράτους καὶ αὐτοῦ τούτου· φάναι γὰρ τοῦ μὲν Θεοφράστου

καθ᾽ ὑπερβολὴν ἐξέχοντος πάντα τὸ καθ᾽ ἑαυτὸν ἐξηγησάμενος, τοῦ δὲ ἑτέρου τὴν φύσιν ὑπάρχοντος, ὡς τῷ μὲν χαλινοῦ δεῖ, τῷ δὲ κέντρου. – Gnomol. Vat. (Wien. Stud. IX 1887) 52.

Διογένης Λαέρτιος V 4-5:
Ἐπειδὴ δ᾽ ἐδόκει ἱκανῶς αὐτῷ συγγεγενῆσθαι [Ἀλεξάνδρῳ] (sc. Ἀριστοτέλης), ἀπῆρεν εἰς Ἀθήνας (335/4) συστήσας αὐτῷ τὸν συγγενῆ Καλλισθένην τὸν Ὀλύνθιον.
Ὃν καὶ παρρησιαστικώτερον λαλοῦντα τῷ βασιλεῖ καὶ μὴ πειθόμενον αὐτῷ φασιν ἐπιπλήξαντα εἰπεῖν· ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ᾽ ἀγορεύεις". Καὶ δὴ καὶ ἐγένετο· δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς ἐν σιδηρῷ περιήγετο γαλεάγρᾳ, φθειριῶν καὶ ἀκόμιστος, καὶ τέλος λέοντι παραβληθεὶς οὕτω κατέστρεψεν.

Πλουτάρχου· Ἀλέξανδρος 52-55:
(Nach Kleitos' Tod) Καλλισθένην τε τὸν φιλόσοφον παρεισήγαγον Ἀριστοτέλους οἰκεῖον ὄντα καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. Ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πράως ὑποδυόμενος τῷ λόγῳ καὶ περιιὼν ἀλύπως λαβέσθαι τοῦ πάθους. Ὁ δὲ Ἀνάξαρχος .... τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δὲ ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν, αὐτὸς δὲ δαιμονίως ἐνήρμοσε καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν, οὐδ᾽ ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν, προσδιέβαλε.
Τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν, ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος ἀνέβη πρὸς Ἀλέξανδρον.
Φθονούμενος δὲ διὰ τὴν δόξαν ἔστιν ἃ καὶ καθ᾽ αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχε, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος ἔν τε τῷ συνεῖναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν οὐδ᾽ ἀρέ-

(ἀκολουθεῖ)

σκεσθαι τοῖς γινωσκομένοις, ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ᾽ αὐτῷ· «μισῶ σοφιστήν, ὅστις οὐδ᾽ αὑτῷ σοφός.»

Λέγεται δέ ποτε πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστε ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ᾽ αὐτόν.

Εἰπεῖν οὖν τὸν Ἀλέξανδρον φασι, «τὴν αὑτοῦ δύναμιν ἐπιδεῖξαι κατηγορήσαντα Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμελοῦσιν». οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τραπόμενον πολλὰ παρρησιάσασθαι κατὰ τῶν Μακεδόνων καὶ τὴν Ἑλλήνων στάσιν αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ τὸν Φίλιππον αὐξήσεως καὶ δυνάμεως εἰπεῖν «ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς». Ἐφ᾽ ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι.

Καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης, ἀλλὰ τῆς δυσμενείας Μακεδόσιν ἀπόδειξιν δέδωκεν.

Ἀλλὰ τήν γε προσκύνησιν ἐρρωμένως ἀπωσάμενος καὶ φιλοσόφως καὶ μόνος ἐν φανερῷ διελθὼν ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης καὶ μείζονος Ἀλέξανδρον ἀποτρέψας τὴν προσκύνησιν, αὑτὸν δὲ ἀπώλεσεν ἐκβιάσασθαι δοκῶν μᾶλλον ἢ πεῖσαι τὸν βασιλέα.

Χάρης δὲ ὁ Μιτυληναῖός φησι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην προτεῖναί τινι τῶν φίλων, τὸν δὲ δεξάμενον πρὸς ἑστίαν ἀναστῆναι καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον [ἐν τῷ συμποσίῳ] καὶ κατακλιθῆναι. πάντων δὲ ταῦτα ποιούντων ἐφεξῆς τὸν Καλλισθένη λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως ἀλλ᾽ Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα. Δημητρίου δὲ τοῦ προσεπονομαζομένου Φείδωνος εἰπόντος «ὦ βασιλεῦ, μὴ φιλήσῃς, οὗτος γάρ σε μόνος οὐ προσεκύνησε», διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον. τὸν δὲ Καλλισθένη μέγα φθεγξάμενον εἰπεῖν «φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι».

Ἀρριανὸς Ἀν. IV 10–14:
Καὶ οὖν καὶ τοῦ θείου τὴν μετουσίαν Ἀλεξάνδρῳ οὐκ ἐξ ὧν Ὀλυμπιὰς ἀμφὶ τῆς γενέσεως αὐτοῦ ψεύδεται ἀνῃρτῆσθαι, ἀλλ' ἐξ ὧν ἂν αὐτὸς ὑπὲρ Ἀλεξάνδρου ξυγγράψας ἐξενέγκῃ ἐς ἀνθρώπους.
Οὔκουν αὐτὸς ἀφῖχθαι ἐξ Ἀλεξάνδρου δόξαν κτησόμενος, ἀλλ' ἐκεῖνον εὐκλεᾶ ἐς ἀνθρώπους ποιήσων.

Συγγραφαί του
„Πίναξ τῶν ἀπὸ Γυλίδα νενικηκότων τὰ Πύθια"
„Περὶ τοῦ Ἱεροῦ Πολέμου"
„Ἑρμείας"
„Ἀποφθέγματα"
„Περίπλους"
„Ἑλληνικά" Α–Ι
„Ἀλεξάνδρου Πράξεις"
„Μακεδονικά"
„Θρᾳκικά"
„Κυπριακά"

σ. 665–667
Ἔφιππος Ὀλύνθιος

Σουΐδας s. Ἔφιππος
Ἀρριανοῦ Ἀνάβασις III 5, 2-3 (π. 332/1):
Καὶ κατὰ τὴν Αἴγυπτον ἐνταῦθα ἐκόσμησε (sc. Ἀλέξανδρος)· δύο μὲν νομάρχας Αἰγύπτου κατέστησεν Αἰγυπτίους, φρουράρχους δὲ Πανταλέοντα τὸν Πυδναῖον, καὶ Πολέμωνα τὸν Πελλαῖον· τῶν ξένων δὲ ἄρχειν Λυκίδαν Αἰτωλόν, γραμματέα δὲ ἐπὶ τῶν ξένων Εὔγνωστον τὸν Ξενοφάντου· ἐπισκόπους δὲ αὐτῶν Αἰσχύλον καὶ Ἔφιππον τὸν Χαλκιδέως.

Πλίνιος Φυσικὴ Ἱστορία 12, 13:
Arborum naturae (de peregrinis arboribus) ex Dorotheo Athenaeo, Lyco, Antaeo, Ephippo, Dinone, Adimanto, Ptolemaeo Lagi.

(ἀκολουθεῖ)

Συγγραφή:
**Περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος τελευτῆς**

Ἀθήναιος ~~X 44~~ p. XII 53 p. 537D:
Περὶ δὲ τῆς Ἀλεξάνδρου τοῦ πάνυ τρυφῆς Ἔφιππος μὲν ὁ Ὀλύνθιος ἐν τῷ περὶ τῆς Ἡφαιστίωνος Ἀλεξάνδρου τελευτῆς φησιν ὅτι ἐν τῷ παραδείσῳ ἔκειτο αὐτῷ χρυσοῦς θρόνος καὶ κλῖναι ἀργυρόποδες, ἐφ' ὧν καθεζόμενος ἐχρημάτιζε μετὰ τῶν ἑταίρων.

Αὐτόθι p. 537 E-538 B:
Ἔφιππος δέ φησιν ὡς Ἀλέξανδρος καὶ τὰς ἱερὰς ἐσθῆτας ἐφόρει ἐν τοῖς δείπνοις, ὁτὲ μὲν τὴν τοῦ Ἄμμωνος πορφυρίδα καὶ περισχιδεῖς καὶ κέρατα καθάπερ ὁ θεός, ὁτὲ δὲ τὴν τῆς Ἀρτέμιδος, ἣν καὶ ἐπὶ τοῦ ἅρματος ἐφόρει πολλάκις, ἔχων τὴν Περσικὴν στολήν, ὑποφαίνων ἄνωθεν τῶν ὤμων τό τε τόξον καὶ τὴν σιβύνην, ἐνίοτε δὲ καὶ τὴν τοῦ Ἑρμοῦ· τὰ μὲν ἄλλα σχεδὸν καθ' ἑκάστην ἡμέραν, χλαμύδα τε πορφυρᾶν καὶ χιτῶνα μεσόλευκον καὶ τὴν καυσίαν ἔχουσαν τὸ διάδημα τὸ βασιλικόν, ἐν δὲ τῇ συνουσίᾳ τά τε πέδιλα καὶ τὸν πέτασον ἐπὶ τῇ κεφαλῇ καὶ τὸ κηρύκειον ἐν τῇ χειρί· πολλάκις δὲ καὶ λεοντῆν καὶ ῥόπαλον ὥσπερ ὁ Ἡρακλῆς. ἔρραινε δὲ ὁ Ἀλέξανδρος καὶ μύρῳ σπουδαίῳ καὶ οἴνῳ εὐώδει τὸ δάπεδον. ἐθυμιᾶτο δὲ αὐτῷ σμύρνα καὶ τὰ ἄλλα θυμιάματα.

Ἐν Ἐκβατάνοις (Herbst 324) ἀθροισθέντων πολλῶν φησὶν ὁ Ἔφιππος κηρύγματα ἐγίνετο ὑπερήφανα καὶ τῆς Περσικῆς [illegible] αὐθαδέστερα. Εἷς γάρ τις τῶν ὁπλοφυλάκων ὑπερπεπλησμένος πάσης κολακείας κοινωσάμενος τῷ Ἀλεξάνδρῳ ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν ὅτι Γόργος ὁ ὁπλοφύλαξ Ἀλέξανδρον Ἄμμωνος υἱὸν στεφανοῖ χρυσοῖς τρισχιλίοις.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΝΑΣΤ. Κ. Π. ΣΤΑΜΟΥΛΗ
ΤΟΥ ΕΚ ΣΗΛΥΒΡΙΑΣ
ΘΡΑΚΙΚΑ

Ὄλυνθος

Felix Jacoby: Fragmente der Griechischen Historiker Zweiter Teil Berlin 1926

| | | Abfassungs-(Lebens)-Zeit |
|---|---|---|
| σ. 3<br>Καλλισθένης Ὀλύνθιος<br>«Περὶ τοῦ Ἱεροῦ Πολέμου» | 356-346 | Gegen 340? |
| ~~σ. 4~~<br>~~«Ἀλεξάν~~ | | |
| σ. 4<br>Strattis Ὀλύνθιος<br>«Περὶ τῶν Ἀλεξάνδρου Ἐφημερίδων. Περὶ τῆς Ἀλεξάνδρου τελευτῆς» | 336-323 | Nach 323 |
| σ. 4<br>Καλλισθένης Ὀλύνθιος<br>«Ἀλεξάνδρου Πράξεις» | 336-329(?) | Vor 327 |
| σ. 4<br>Ἔφιππος Ὀλύνθιος<br>«Περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος Τελευτῆς» | 323 | Kurz nach 323 |

σ. 67

Tatian. πρ. Ἕλλην. 31 p. 31, 16 Schw (Euseb. P.E. X 11 p. 491 D).
«Περὶ γὰρ τῆς Ὁμήρου ποιήσεως γένους τε αὐτοῦ καὶ χρόνου καθ' ὃν ἤκμασεν προηρεύνησαν πρεσβύτατοι μὲν Θεαγένης τε ὁ Ῥηγῖνος καὶ Στησίμβροτος ὁ Θάσιος καὶ Ἀντίμαχος Ἡρόδοτός τε καὶ Διονύσιος ὁ Ὀλύνθιος (VI). μετὰ δὲ ἐκείνους Ἔφορος ὁ Κυμαῖος καὶ Φιλόχορος Μεγακλείδης τε καὶ Χαμαιλέων οἱ περιπατητικοί. ἔπειτα γραμματικοὶ Ζηνόδοτος...

σ. 69

[Sergius] Explan. i. Donat. I (Gr. L. IV 531, 17 Keil): prosodiae ensind βαρεῖα, ὀξεῖα, μέση. quartae illi [coniungit], quia ceteris perplexior est, plura sunt vocabula: Ammonius Alexandrinus, qui Ari-

(ἀκολουθεῖ).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

starchi scholae successit, ὀξύβαφον vocat; Ephorus autem Cymaeus πτερόσπαστον; Dionysius Olympius δίσκον; Hermocrates Iasius σύμπλεκτον; Epicharmus Syracusius κυλικαναμήτην; verum ea nunc ab omnibus προσωπεῖον Graece vocatur.

c. 132

Εὔφαντος Ὀλύνθιος

Διογένης Λαέρτιος II. 110.

Εὐβουλίδου δὲ καὶ Εὔφαντος γέγονε (sc. γνώριμος) ὁ Ὀλύνθιος, ἱστορίας γεγραφὼς τὰς κατὰ τοὺς χρόνους τοὺς ἑαυτοῦ. Ἐποίησε δὲ καὶ τραγῳδίας πλείους, ἐν αἷς ηὐδοκίμει κατὰ τοὺς ἀγῶνας. Γέγονε δὲ καὶ Ἀντιγόνου τοῦ βασιλέως (i. e. τοῦ Γονατᾶ) διδάσκαλος, πρὸς ὃν καὶ λόγον γέγραφε περὶ βασιλείας σφόδρα εὐδοκιμοῦντα. Τὸν βίον δὲ γήρᾳ κατέστρεψεν.

Διογένης Λαέρτιος II 113.

Περὶ τούτου (sc. Στίλπωνος) φησὶ Φίλιππος ὁ Μεγαρικὸς κατὰ λέξιν οὕτω· „παρὰ μὲν Θεοφράστου Μητρόδωρον ἀπέσπασε Δίφιλον δὲ τὸν Βοσποριανὸν Εὐφάντου καὶ Μύρμηκα τὸν Ἐξαινέτου παραγενομένους ὡς ἐλέγξοντας ἀμφοτέρους ζηλωτὰς ἔσχε."

Pap. Herc. 1112 fr. 2

(Croenert Kolotes u. Menedemos 26):

...... κωδοξία λ........ υτο τῆς συστασ... παρακειμένη ἐτέρω ....... ο. ς Μήνωνος κα[ὶ Ἀλεξί]νου καὶ τοῦ καὶ Εὐβουλίδου καὶ Εὐφάντου ..... θεωρουμένων ......